www.tezaurliturgic.ro



Ἁγιογραφημένη προσκυνηματική εἰκόνα τῆς Ὁσίας Μητρὸς Ἡμῶν
Ἀναστασίας τῆς Πατρικίας



# Ἀκολουθία
# τῆς
# Ὁσίας Μητρὸς ἡμῶν

# Ἀναστασίας τῆς Πατρικίας

Ἐποιήθησαν ἐν Ἁγίῳ Ὄρει
ὑπὸ Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας.

Μαρτίου ι΄
Μνήμην ἐπιτελοῦμεν τῆς Ὁσίας Μητρὸς Ἡμῶν
Ἀναστασίας τῆς Πατρικίας.

Εἴδησις. Εἰς τὴν παροῦσαν ἑορτὴν λαμβάνομεν ὡς ὁδηγὸν τὴν τυπικὴν διάταξιν τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων.

❖ ❖ ❖

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

Μετὰ τὸν *Προοιμιακόν*, τὸ *Μακάριος* Ἀνήρ. Εἰς δὲ τὸ *Κύριε Ἐκέκραξα*, ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς *Προσόμοια* τῆς Ἁγίας.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου

www.tezaurliturgic.ro

Δόξαν παριδοῦσα τὴν φθαρτήν, θείᾳ τετρωμένη ἀγάπῃ, Ἀναστασία σεμνή, χαίρουσα κατέλιπες, τὰς βασιλείους αὐλάς, βασιλείαν τὴν ἄνωθεν, θερμῶς ἐκζητοῦσα, ὅθεν παραγέγονας, εἰς Ἀλεξάνδρειαν, ἔνθα τὸν ἰσάγγελον βίον, πόθῳ ὑπελθοῦσα Ὁσία, ὤφθης τῶν Ἀγγέλων ἰσοστάσιος.

Γνώμην καὶ τὴν κλῆσιν καὶ στολήν, μεταμειψαμένη Ὁσία, στεῤῥῷ φρονήματι, πᾶσαν καταλέλοιπας, σχέσιν ἐπίγειον, καὶ ὡς ἄσαρκος ᾤκησας, ἔνδον τοῦ σπηλαίου, ἄγνωστος ἀπρόϊτος, τελοῦσα ἅπασιν· ὢ τῆς καρτερίας σου Μῆτερ καὶ τῶν θαυμαστῶν σου ἀγώνων, δι' ὧν καταβέβληκας τὸν δράκοντα.

Φύσεως οἰκείας τοὺς θεσμούς, Μῆτερ παριδοῦσα ἐμφρόνως, πόνοις ἀσκήσεως, πλείστοις σ' αὐτὴν δέδωκας, οἷα περ ἄσαρκος, καὶ δοχεῖον ὑπέρτιμον, τοῦ πνεύματος ὤφθης, ἀπαθείας λάμπουσα, τοῖς προτερήμασιν· ὅθεν πρὸς τὰ ἄνω μετέστης, καὶ ἐν οὐρανίοις θαλάμοις, ὢ Ἀναστασία κατεσκήνωσας.

*Προσόμοια ἕτερα*

Ἦχος δ'. Ἔδωκας σημείωσιν

Ἔδωκας τὸ σῶμά σου, Ἀναστασία θεόληπτε, πρὸς ἀγῶνας καὶ σκάμματα, ὁσίας ἀσκήσεως, ἀνενδότῳ γνώμῃ, ἀπαρνησαμένη, σαυτὴν τελείῳ λογισμῷ· ὅθεν ἐπλήσθης θείων ἐλλάμψεων, καὶ μέτοχος γεγένησαι, τῶν δωρεῶν τῶν τοῦ Πνεύματος· διὰ τοῦτο τὴν μνήμην σου τὴν ἁγίαν γεραίρομεν.

Ἤμειψας τὸ φρόνημα, θεοπρεπῶς καὶ τὸ ὄνομα, καὶ τὸ ἔνδυμα πάνσεμνε, καὶ χαίρουσα ᾤκησας, ἐν σπηλαίῳ Μῆτερ, Δανιὴλ τοῦ θείου, ἰθυνομένη τῇ χειρί· ἐν ᾧ ἀσκήσει συντονωτάτῃ σου, τὸν σκότους κοσμοκράτορα, Ἀναστασία κατέβαλες, γυναικείῳ ἐν σώματι, καὶ ἀξίως δεδόξασαι.

Φῶς θεῖον ἑώρακας, καὶ ἐπιστάντας Ἀγγέλους σοι, ὡς ἰσάγγελος ἔνδοξε, ἡνίκα τὸ πνεῦμά σου, Χριστῷ τῷ νυμφίῳ, Μῆτερ ἀπεδίδως, καὶ μεταστάσα ἐν χαρᾷ, πρὸς οὐρανίους αὐλὰς ἀνέδραμες, τῶν πόνων σου τὰ ἔπαθλα, Ἀναστασία λαμβάνουσα, καὶ ἀπαύστως πρεσβεύουσα, ὑπὲρ τῶν εὐφημούντων σε.

Δόξα. Ἦχος πλ. β'

Σήμερον ἡ τῆς Ὁσίας Ἀναστασίας μνήμη, τὴν Ἐκκλησίαν πυρσεύουσα ἐπέστη· ἐν ὁσιότητι γὰρ καὶ ἀληθείᾳ, καὶ ἔργοις φωτὸς ἐμπρέψασα, καταλαμπρύνει τοὺς βοῶντας· χαίροις ἡ τὰς βασιλείους τιμάς, καὶ τὰς σφαλλομένας ἀξίας, τῆς κατὰ Χριστὸν ζωῆς τῇ τραχύτητι ἀνταλλάξασα· χαίροις ἡ τὸ ἀσθενὲς τῆς φύσεως ἀποῤῥίψασα, καὶ πρὸς ἀνδρικοὺς ἀγῶνας, ἐνθέῳ πεποιθήσει χωρήσασα· χαίροις Ἀγγέλων ἰσότιμε, Μοναζουσῶν δόξα καὶ καύχημα, καὶ πρὸς Χριστόν, μεσίτις ἡμῶν ἀξιόθεος. Ὦ! μὴ παύσῃ πρεσβεύουσα Ὁσία, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.



Καὶ νῦν. Ἦχος ὁ αὐτός

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον. Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς· φύσει Θεὸς ὑπάρχων καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς. Οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, *Φῶς Ἱλαρόν*, τὸ *Προκείμενον* τῆς ἡμέρας, καὶ τὰ *Ἀναγνώσματα*

Παροιμιῶν τὸ Ἀνάγνωσμα

(Κεφ. λα'. 10, 13-20, 26)

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δ' ἐστὶ λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσεν κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισεν τοὺς βραχίονας αὐτῆς, εἰς ἔργον. Ἐγεύσατο ὅτι καλὸν ἐστὶ τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινεν πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφθάνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. ε'. 15 - στ'. 3)

www.tezaurliturgic.ro

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσιν, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδαν ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλήσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. δ΄. 7)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστὶν φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτο, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις Αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τὴν Λιτήν, *Ἰδιόμελα*

Ἦχος α΄

Τὴν ἀληθὴν ἀξίαν, ὁλικῶς ἐκζητοῦσα, τῶν ἐπὶ γῆς ἀξιωμάτων, τὸ εὐδιάλυτον



παρεῖδες, νοῒ μεγαλόφρονι, Ἀναστασία Ὁσία· καὶ χαίρειν πᾶσιν εἰποῦσα, ἀσκητικῶς Χριστῷ ἠκολούθησας, τὸν Σταυρὸν ἐπ᾽ ὤμων ἄρασα. Ὢ τοῦ Θαύματος! πῶς ἠγωνίσω ὡς ἀσώματος, καὶ ἐν ἀσθενείᾳ φύσεως, ἔξω κόσμου καὶ σαρκὸς ἐγένου; Ἀλλ᾽ ὡς ὑπερκοσμίου δόξης κοινωνός, μὴ παύσῃ πρεσβεύουσα Μῆτερ, ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου, τελούντων τὴν μνήμην σου.

Ἦχος β΄

Τῶν ἐπὶ γῆς ἀποθεμένη τὴν σχέσιν, ἐν τῇ ἑνώσει τῶν κρειττόνων τοῦ οἰκείου πλούτου τὴν κτῆσιν, ἀπεβάλου νουνεχῶς, πλουτισθεῖσα θησαυρίσματα, τῆς θεϊκῆς ἀγάπης· καὶ ὡς ἔλαφος διψῶσα ἔδραμες, ἐπὶ τὴν Αἴγυπτον Ὁσία, τοῦ ἄκρου ἐφετοῦ τυχεῖν ἐπισπεύδουσα· καὶ θεοβρύτων πηγῶν τῆς χάριτος, δι᾽ ἀσκήσεως τρυφήσασα, τὸν χειμάῤῥουν τῆς τρυφῆς ἐκληρώσω, καθαρθεῖσα τῶν προσύλων. Ἀλλ᾽ ὡς ἔχουσα πρὸς Χριστὸν παῤῥησίαν, Ἀναστασία παμμακάριστε, ἱκέτευε πάντοτε, ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος γ΄

Ἀνδρεῖον ἀναλαβοῦσα φρόνημα, ἀνδρικοὺς ἀγῶνας διήνυσας, ἐν τῇ στεῤῥᾷ ἀσκήσει, Ἀναστασία Ὁσία θεόσοφε· καὶ ἐν σπηλαίῳ σαυτὴν ἐγκλείσασα, πάσης συναφείας γηΐνης, τὸν νοῦν τελείως ἐχώρισας, καὶ ὁλοτρόπως ἡνώθης, τῷ φωτὶ τῶν μυστικῶν θεωριῶν τῆς κοινωνίας τῆς χάριτος. Ὅθεν ἡ ἰσάγγελος ζωή σου, τῆς διανοίας ἡμῶν ἐκπλήττει, καὶ πρὸς θεῖον πόθον διεγείρει, τοὺς ὁμοφρόνως βοῶντας· Κύριε δόξα σοι.

Ἦχος δ΄

Ἐνδεδυμένη τὴν ἄνωθεν δύναμιν, οὐκ ἔπτηξας Ὁσία, τοῦ ἀοράτου ἐχθροῦ τὰς ἐπινοίας καὶ μηχανάς· ἀλλ᾽ ἀνίσχυρον τὸ θράσος αὐτοῦ ἀπέδειξας, ἀσκητικῶς ἀγωνισαμένη, ἐν γυναικείῳ σώματι· καὶ νεκρωθεῖσα τῇ σαρκί, τῆς ἀθανάτου ζωῆς τοὺς καρπούς, δαψιλῶς ἐκαρποφόρησας· δι᾽ ὧν Ἀναστασία θεόφρον, ἐκτρέφεις τὰς ψυχὰς τῶν πιστῶς σε τιμώντων, καὶ τῷ Σωτῆρι βοώντων· Κύριε δόξα σοι.

Δόξα. Ἦχος β΄

Τῇ φερωνύμῳ σου κλήσει, τὴν ἐσομένη προϋπέφηνάς σοι δόξαν, Ἀναστασία Θεοδόξαστε· μεγάλα γὰρ ἀνέστησας τρόπαια, κατὰ τοῦ παλαμναίου, τὴν ἰσχὺν

www.tezaurliturgic.ro

αὐτοῦ ἀσκητικῶς θριαμβεύσασα· καὶ μειζόνων τιμῶν ἀξιωθεῖσα, παρὰ Χριστοῦ τοῦ Νυμφίου σου, μεγάλων κινδύνων ῥύῃ, τοὺς προσιόντας τῷ ναῷ σου· Ἀλλ᾽ ὡς ἔχουσα παῤῥησίαν, ἀνάστησον ἡμᾶς δεόμεθα, ἐκ λάκκου κατὰ Δαβίδ, ταλαιπωρίας καὶ θλίψεως.

Καὶ νῦν. Θεοτοκίον

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον *Στιχηρὰ Προσόμοια*
Ἦχος πλ. α΄. *Χαίροις ἀσκητικῶν*

Χαίροις Ἀναστασία σεμνή, τῆς Ἀναστάσεως Χριστοῦ ἡ ἐπώνυμος· ἧς πίστει εἰσδεδεγμένη, τὴν μυστικὴν ἀστραπήν, ἔνδον ἐν καρδίᾳ θείῳ Πνεύματι, τὸ σκότος κατέλιπες, κοσμικῆς ματαιότητος, καὶ τῶν Ἀγγέλων, τὴν ζωὴν ἐπεπόθησας, ὡς ἀσώματος, μετὰ σώματος ζήσασα· ὅθεν νῦν τὴν ἰσάγγελον, ἐκτήσω φαιδρότητα καὶ οὐρανίων θαλάμων, περιφανῶς κατηξίωσαι, ἀεὶ δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Χαίροις Ἀναστασία σεμνή, ἡ ὁλοτρόπως τὸν Χριστὸν ἀγαπήσασα καὶ πᾶσαν τιμὴν καὶ δόξαν, καὶ βασιλείους αὐλάς, θεολήπτῳ γνώμῃ καταλείψασα, καὶ πένθει καὶ δάκρυσι, καὶ συντόνοις ἀσκήσεσιν, ἐν τῇ Αἰγύπτῳ, θεοφρόνως βιώσασα, ὡς θεράπαινα, τοῦ Θεοῦ θεοφόρητος· ὅθεν τῆς ὑπὲρ ἔννοιαν, χαρᾶς ὤφθης μέτοχος, περιχορεύουσα Μῆτερ περὶ τὸν θρόνον τοῦ Κτίστου σου, ὃν οὖν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε.

Χαίροις Ἀναστασία σεμνή, ἡ φερωνύμως ἀνιστῶσα ἑκάστοτε, ἐκ λάκκου ταλαιπωρίας, καὶ ἐκ βυθοῦ πειρασμῶν, τοὺς τῇ σῇ πρεσβείᾳ καταφεύγοντας, καὶ πᾶσιν παρέχουσα, τὴν θερμὴν προστασία σου, τοῖς τῷ ναῷ σου τῷ ἁγίῳ προστρέχουσι καὶ τὴν μνήμην σου, τὴν σεπτὴν ἑορτάζουσι· χάριν γὰρ θείαν εἴληφας, πληροῦν τὰ αἰτήματα, ἡμῶν καὶ νέμειν ἑκάστῳ, ῥῶσιν ψυχῆς, ῥῶσιν σώματος, Χριστὸν δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.



Δόξα. Ἦχος πλ. δ΄

Τίς ἐπαξίως ὑμνήσει, τὰ τοῦ βίου σου κατορθώματα, Ἀναστασία Ὁσία Θεόσοφε; πάντα γὰρ ἐξέστησαν, τῆς σῆς φρονήσεως ὁ πλοῦτος, τῆς ἀνδρείας τὸ ἀνένδοτον, καὶ τῆς ἀσκήσεως τὸ σύντονον· ὅτι τὰ ἄνω ποθοῦσα, τῶν χαμαὶ συρομένων, ὁλοσχερῶς ἀπέστης· καὶ τῶν Ἀγγέλων τὴν ζωὴν χαρακτηρίσασα, ἀγγελικῆς συναυλίας ἠξίωσαι· μεθ᾽ ὧν πρέσβευε τῷ σῷ νυμφίῳ Χριστῷ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

*Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον*

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον

Βασιλείους ἀξίας καὶ δόξαν πρόσκαιρον, καταλιποῦσα ἐμφρόνως Ἀναστασία σεμνή, τὴν ἰσάγγελον ζωὴν στεῤῥῶς διήνυσας, καὶ δοξασθεῖσα ἐκ Θεοῦ, ὡς δοχεῖον ἀρετῶν, δυσώπει Ὁσία Μῆτερ, ὑπὲρ τῶν πίστει τιμώντων, τῆς Πολιτείας σου τὴν ἄσκησιν.

Θεοτοκίον

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ Ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων καὶ προσκυνούντων τὸν τόκον σου.

ΑΠΟΛΥΣΙΣ



www.tezaurliturgic.ro

❖ ❖ ❖

Εἰς τὸν Ὄρθρον

Μετὰ τὴν α΄. Στιχολογίαν, *Κάθισμα*
Ἦχος α΄. Τὸν τάφον σου Σωτὴρ

Ὡς ἔλιπες σεμνή, Κωνσταντίνου τὴν πόλιν, δεχθεῖσα τῇ ψυχῇ, τὴν οὐράνιον φλόγα, πρὸς πόλιν Ἀλεξάνδρεια, εὐπλοήσασα ἔδραμες καὶ μονάσασα, Ἀναστασία ὁσίως, τὴν τοῦ πόθου σου, πλήρωσιν εὕρηκας Μῆτερ, Χριστὸν μεγαλύνουσα.

Θεοτοκίον

Δυνάμει τοῦ ἐκ σοῦ, προελθόντος ἀῤῥήτως, σαρκὸς τὸ ἀσθενές, ῥωννυμένη Παρθένε, ἀσκήσει ἠνδραγάθησε, καὶ ἀξίως δεδόξασται, ἀνυμνοῦσα σε, Ἀναστασία ἡ θεία, καὶ δοξάζουσα, παμφαῆ μεγαλεῖα, τῆς δόξης σου Ἄχραντε.

Μετὰ τὴν β΄. Στιχολογίαν, *Κάθισμα*
Ἦχος δ΄. Κατεπλάγη Ἰωσὴφ

Καταπλήττει ἀληθῶς, τὰς διανοίας τῶν πιστῶν, τῆς ἀσκήσεως τῆς σῆς ἡ ὑπὲρ φύσιν ἀγωγή, Ἀναστασία Ὁσία Θεόσοφε· σὺ γὰρ ὡς ἀνήρ, στεῤῥῶς ἠγώνισαι, ἀπρόϊτος πολλοῖς, ἔτεσι μείνασα, ἐγκεκλεισμένη σπηλαίῳ ὡς ἄσαρκος, μόνῳ Χριστῷ ἀτενίζουσα· ὢ τῆς ἀνδρείας, τῆς σῆς Ἁγία, δι᾽ ἧς λαμπρῶς τεθαυμάστωσαι.

Θεοτοκίον

Μετὰ σώματος Ἁγνή, τὸν ὑπερούσιον Θεόν, κυοφορήσασα ἡμῖν, δίχα τροπῆς τε καὶ φυρμοῦ, τῶν ποιημάτων ἐδείχθης ἁγιωτέρα· ὅθεν τῷ φωτί, τῆς σῆς λαμπρότητος, χαίρουσα ἀεί, νοΐ θεόφρονε, Ἀναστασία τὸ σκότος διέφυγε, τῆς τῶν δαιμόνων κακότητος, καὶ τοῦ Υἱοῦ σου θεογεννῆτορ, τῆς θεαυγείας ἠξίωται.

Μετὰ τὸν Πολυέλαιον, *Κάθισμα*.
Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Ἐξ εὐγενῶν καταγομένη Ὁσία, τῆς ψυχικῆς σου εὐγενείας τὸ κάλλος διατηρεῖν ἀνόθευτον ἐσπούδασας· ἔνθεν πεπολίτευσαι, ὡς ἀσώματος Μῆτερ, σεαυτὴν νεκρώσασα, τῇ ἀπάτῃ τοῦ κόσμου, καὶ μεταστάσα νῦν ἐν οὐρανοῖς, Ἀναστασία, ζωῆς θείας ἔτυχες.



Θεοτοκίον

Ἐκ τῶν ἁγνῶν σου καὶ ἁγίων αἱμάτων, σάρκα λαβὼν ὁ δοὺς τοῖς πᾶσι τὸ εἶναι, Υἱός σου ὤφθη Κόρη ὁ φιλάνθρωπος· ὅθεν τούτῳ πρέσβευε, ὡς ἁγνὴ αὐτοῦ Μήτηρ, δοῦναι ταῖς ψυχαῖς ἡμῶν φωτισμὸν καὶ εἰρήνην, καὶ βασιλείας τῆς τῶν οὐρανῶν, καταξίωσαι, ἡμᾶς τοὺς ὑμνοῦντας Σέ.

Τὸ α΄ *Ἀντίφωνον* τοῦ δ΄ ἤχου καὶ τὸ *Προκείμενον*:
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε.

Εὐαγγέλιον κατὰ Ματθαῖον.
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη...
(Ζήτει αὐτὸ ἐν τῇ Λειτουργίᾳ τοῦ Ἁγ. Σάββα)

Ὁ Ν΄. Δόξα. Ταῖς τῆς σῆς Ὁσίας...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Ἀρνησαμένη σεαυτήν, ἀσκητικῶς Χριστῷ ἠκολούθησας, Ἀναστασία Μεγαλώνυμε καὶ σῶμα καὶ ψυχὴν ἐκκαθάρασα, ἀκηλίδωτον ὤφθης ἔσοπτρον, τῆς θεϊκῆς ἐπινοίας καὶ νῦν τῶν δεσμῶν τῆς σαρκὸς ἀπολυθεῖσα, ἀνακεκαλυμμένως μετέσχες τοῦ ξύλου τῆς ζωῆς. Αὐτοῦ τῆς μετοχῆς, καὶ ἡμᾶς ἀξίωσον, θερμαῖς σου παρακλήσεσι.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τῆς Ἁγίας.
Κανὼν τῆς Ἁγίας οὗ ἡ ἀκροστιχίς:
«Χαῖρε Ὁσία Ἀναστασία. Γερασίμου Μοναχοῦ»

www.tezaurliturgic.ro

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ

Χαρμονῆς τῆς θείας καὶ τρυφῆς, τῆς ὑπὲρ κατάληψιν, Ἀναστασία ἀξίως μετέχουσα, χάριτος ἀξίωσον, τὴν καρδίαν μου, καὶ τὸ στόμα μου πλήρωσον πνεύματος Ἁγίου, ὅπως ἀνυμνήσω σου τὴν ἄσκησιν.

Ἀπὸ ῥίζης Μῆτερ εὐκλεοῦς, ὡς βλαστὸς κατάκαρπος, Ἀναστασία Ὁσία βλαστήσασα, δαψιλῶς προήγαγες, θείοις τρόποις σου, τοὺς καρποὺς τοὺς τῆς πίστεως, δι᾿ ὧν ἀεὶ τρέφεις, τῶν σὲ εὐφημούντων τὴν διάνοιαν.

Ἱερὰν ζωὴν θεοφιλῶς, Μῆτερ διανύουσα, καὶ βασιλείους αὐλαῖς διατρίβουσα, πλήρης θείων πράξεων, ἐχρημάτισας, ἐν πραότητι λάμπουσα, καὶ πολλῇ συνέσει, οἷα τοῦ Θεοῦ σοφὴ θεράπαινα.

Θεοτοκίον

Ῥυπωθεὶς ἐν πάθεσι πολλοῖς, πρὸς σὲ τὴν ἀμώμητον, πίστει θερμῇ καταφεύγω καὶ δέομαι· κάθαρόν με Ἄχραντε, τοῦ ἐλέους σου, ταῖς ἀρδείαις καὶ θέλξον με, θείων νοημάτων, καθαρὸν ἐν πᾶσιν ἐνδιαίτημα.

Καταβασίας κατὰ τὴν τυπικὴν διάταξιν

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως

Ἐμάκρυνας Ὁσία τῆς Βυζαντίδος, καὶ πάντων γυμνωθεῖσα τῶν προσηκόντων, ἐπέστης ἐν Αἰγύπτῳ Χριστῷ βοῶσα· Σὺ μὲ ὁδήγησον, τοῦ σοῦ θελήματος, ἐπὶ τρίβον Δέσποτα, τὴν σωτήριον.

Οὐράνιον κεκτημένη, ἐν Ἀλεξάνδρου πόλει σεπτῶς ἐδείμα, σεμνὴ Ἀναστασία μονὴν ἁγίαν, ἐν ᾗ σκηνώσασα, οὐκ ἔστιν ἅγιος, τῷ Χριστῷ ἐκραύγαζες, πλὴν σου Κύριε.

Σοφίᾳ καὶ συνέσει κεκοσμημένη, τὸν πλοῦτον τὸν ἐπίγειον ἀπεσείσω, Χριστοῦ δὲ τὴν πτωχείαν ἀναλαβοῦσα, ἐν πλούτῳ πράξεων ὁσίως ἔζησας, καὶ πλουσίας χάριτος, κατηξίωσαι.

Θεοτοκίον

Ἰσχὺν ἡ θεοφόρος Ἀναστασία, ἐκ σοῦ κομιζομένη Θεογεννῆτορ, ἠρίστευσεν ἐν πάλῃ τῇ ἀκροτάτῃ, κατὰ τοῦ δράκοντος, καὶ νίκης στέφανον, ἐκ Θεοῦ ἐδέξατο, ἀνυμνοῦσά Σε.



*Κάθισμα.* Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον

Πτερωθεῖσα ἀγάπῃ τῇ θεϊκῇ, τὰς τιμὰς καὶ ἀξίας τὰς ἐπὶ γῆς, ἐμφρόνως κατέλιπες, ὡς τὰ ἄνω ποθείσασα, καὶ πρὸς ζωὴν ἀγήρω, σαυτὴν κατευθύνουσα, κατάλληλον τῷ πόθῳ τὸν τρόπον ἐπέδειξας· ὅθεν οὐρανίων, μετασχοῦσα θαλάμων, κομίζῃ τὰ ἔπαθλα τῶν ἀπείρων καμάτων σου, Ἀναστασία θεόπνευστε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον

Τὸ περίοπτον ὄρος καὶ ἐμφανές, τὴν νεφέλην τὴν θείαν καὶ χρυσαυγῆ, θρόνον τὸν πυρίμορφον, τοῦ τῶν ὅλων Δεσπόζοντος, τὴν φωταυγῆ λυχνίαν, τὴν στάμνον τὴν πάγχρυσον, ἐν ᾗ ζωῆς τὸ μάννα ἀφράστως ἐσκήνωσε, ὕμνοις εὐχαρίστοις, τὴν Ἁγνὴν Θεοτόκον, ὑμνήσωμεν ἅπαντες, δι᾿ αὐτῆς οἱ σωζόμενοι, πρὸς αὐτὴν ἀνακράζοντες. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς προσκυνοῦσιν Παρθένε, τὴν ἄῤῥητον δόξαν σου.

Ὠδὴ δ΄. Ἐλήλυθας ἐκ Παρθένου

Ἀσκήσασα, ὑπὲρ μέτρον Ὁσία τῆς φύσεως, τῆς σαρκὸς ἐμάρανας, Ἀναστασία τὸ φρόνημα, καὶ ἐν σοὶ ἐπλούτησας τοῦ θείου Πνεύματος τὴν ζωοποιοῦσαν ἐνέργειαν.

Ἀνέθηκας, Δανιὴλ τῷ Ὁσίῳ θεόπνευστε, τὰ τῆς πολιτείας σου, οὐ καθυπείκουσα ῥήμασιν, ὡς ἀνὴρ ἠγώνισαι, κλήσει καὶ σχήματι, δόξαν τῷ Θεῷ ἀναπέμπουσα.

Νεκρώσασα, σεαυτὴν τοῖς ἐν κόσμῳ κατῴκησας, ὡς τερπνὸν παλάτιον, Ἀναστασία τὸ σπήλαιον, καὶ πόνοις ἀσκήσεως ναὸς περίδοξος, τοῦ παμβασιλέως γεγένησαι.

Ἀπαύστοις σου, προσευχαῖς καὶ νηστείαις καὶ δάκρυσι, τὴν ψυχὴν καθαίρουσα, ἐν σπηλαίῳ ἀπρόϊτος, πλείστοις διετέλεσας Ὁσία ἔτεσι, καὶ ἐχθροῦ καθεῖλες τὸ φρύαγμα.

www.tezaurliturgic.ro

Θεοτοκίον

Σωθῆναί με, τῆς μανίας Ἁγνὴ τοῦ ἀλάστορος, χεῖρα βοηθείας μοι ὥσπερ φιλάγαθος ὄρεξον, καὶ φωτὶ συνέσεως, τὸν νοῦν μου λάμπρυνον, τὸν νυκτὶ παθῶν πορευόμενον.

Ὠδὴ ε΄. Μεσίτης Θεοῦ

Τὸν φόβον Θεοῦ, παιδιόθεν σχοῦσα ἐν καρδίᾳ σου, πολιτείαν ἄμεμπτον, ἐν τοῖς βασιλείοις διατρίβουσα, Ἀναστασία ἔσχες, καὶ τρόπον χριστομίμητον.

Ἁπάσης φθαρτῆς εὐκληρίας, χαίρουσα ἐξέκλινας, καὶ πλοῦτον τὸν πρόωρον, πλούτῳ θείου ἔρωτος, κατέλιπες, τὴν πτωχείαν Κυρίου, Ἀναστασία δέξασα.

Σαυτήν, ταῖς χερσὶ Δανιὴλ τοῦ θείου, Μῆτερ δέδωκας, ὡς σεπτὸν ἀνάθημα θερμῶς τοῖς ἔμπροσθεν προβαίνουσα, ἀνδρικὰ ἐν σπηλαίῳ, διήνυσας παλαίουσα.

Θεοτοκίον

Ἰλύος παθῶν, τῇ σῇ ῥυπτικῇ πρεσβείᾳ κάθαρον, μολυνθεῖσα Δέσποινα, ἀπροσεξίας τὴν καρδίαν μου, καὶ τὴν ῥύμην τοῦ πλάνου, τὴν κατ᾽ ἐμοῦ κατάργησον.

Ὠδὴ στ΄. Ἐν ἀβύσσῳ πταισμάτων

Ἀναστάσεως ὤφθης ἐπώνυμος, τῆς τοῦ σοῦ Νυμφίου· ὅθεν ἀνέστησας, Ἀναστασία τρόπαια, κατὰ τοῦ πολεμήτορος μέγιστα.

Γυναικείῳ ἐν σώματι ἤνυσας, ἀνδρικὰ παλαίσματα στεῤῥῶς ἀσκήσασα, Ἀναστασία πάνσεμνε, ὑπερβᾶσα τοὺς ὅρους τῆς φύσεως.

Ἐν σπηλαίῳ ἀπροΐτος μένουσα, τὴν ἀπ᾽ οὐρανοῦ ἐδέχου παράκλησιν, Ἀναστασία ἔνδοξε, καὶ Ἀγγέλους συλλήπτορας ἔσχηκας.

Θεοτοκίον

Ῥάβδῳ Κόρη τῆς θείας δυνάμεως, ἡ Ἀναστασία τὸν νοῦν ἐπερείσασα, ἀσκητικῶς ἐδόξασε, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὸ ὄνομα.

*Κοντάκιον.* Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ



Ὡς ἰσαγγέλως ἐν τῷ κόσμῳ βιοτεύσασα, Ἀναστασία τῶν Ὁσίων ἐγκαλλώπισμα, δωρεαῖς τοῦ Παρακλήτου ἐμεγαλύνθης. Ἀλλ᾽ ἀπαύστως καθικέτευε πρὸς Κύριον, πάσης θλίψεως λυτροῦσθαι καὶ κακώσεως, τοὺς βοῶντάς Σοι, Χαίροις Μῆτερ ἰσάγγελε.

Ὁ Οἶκος

Ἄγγελος ἐν ἀσκήσει, ἀληθῶς ἀνεδείχθης, Ἀναστασία Ὁσία Μῆτερ, καὶ ἀγγελικῆς τυχοῦσα χαρᾶς, ἀνάστησόν με βυθοῦ παραπτώσεων, ὡς ἂν τὴν πολιτείαν σου, μακαρίζω βοῶν σοι ταῦτα:

Χαῖρε Ὁσία λελαμπρυσμένη
Χαῖρε Ἁγία δεδοξασμένη
Χαῖρε ἡ λιποῦσα τρυφὴν τὴν ἐπίκηρον
Χαῖρε ἡ εὑροῦσα χαρὰν τὴν ἀκήρατον
Χαῖρε ὕψος ἀποῤῥίψασα εὐκληρίας γεηρᾶς
Χαῖρε κλέος γεωργήσασα πολιτείας τῆς λαμπρᾶς
Χαῖρε ὅτι παρεῖδες τὸ τοῦ θηλέως χαῦνον
Χαῖρε ὅτι καθεῖλες τὸ τοῦ δράκοντος φαῦλον
Χαῖρε λαμπὰς ὁσίας ἀσκήσεως
Χαῖρε πυρσὸς ἐνθέου φρονήσεως
Χαῖρε δι᾽ ἧς ὁ ἐχθρὸς ἀνετράπη
Χαῖρε δι᾽ ἧς ὁ Χριστὸς ἐδοξάσθη
Χαίροις Μῆτερ ἰσάγγελε.

Συναξάριον

**Τῇ Ι΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἀναστασίας τῆς Πατρικίας**

Στίχ. Ἡ Πατρικία πάντα λιποῦσα τάδε
Πάντων κατέστη κυρία ἐν τῷ πόλῳ.
Δεκάτη Ἀναστασίαν γηθόσυνον ἔνθεν ἄειραν.

Ταῖς αὐτῆς πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

* * *

www.tezaurliturgic.ro

Ὠδὴ ζ΄. Ἀντίθεον πρόσταγμα

Ἀήττητον φρόνημα ἐνδεικνυμένη, ἀνδρεῖα παλαίσματα Ἀναστασία ἤνυσας, καὶ σκεῦος πολύτιμον τῆς ἐπιπνοίας Θεοῦ ὤφθης ἀνακράζουσα, ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Στολήν σου ἀμείψασα ὡς καὶ τὴν κλῆσιν, ἀνὴρ ἄλλος πέφηνας εὐνοῦχος ἐν τῷ σχήματι, καὶ πάντας διέλαθες, ἐν τῇ ζωῇ σου σεμνή, εὐτόνως ἀναμέλπουσα. Ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ἰσχὺν τὴν οὐράνιον ἐνδεδυμένη, ἐχθροῦ ἀπεγύμνωσας τὴν πονηρίαν ἅπασαν· στεῤῥῶς γὰρ ἠγώνισαι, ἐγκεκλεισμένη σεμνή, ἐν τῷ σπηλαίῳ κράζουσα. Ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Θεοτοκίον

Μαρίαν τὴν ἄχραντον καὶ Θεοτόκον, τὴν μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον, σαρκὸς ὁμοιώματι, δι᾽ εὐσπλαγχνίαν πολλὴν ὑμνήσωμεν κραυγάζοντες· χαῖρε Εὐλογημένη καὶ Ὑπερένδοξε.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρὸς

Ὁ Θεοφόρος Δανιήλ, θείῳ Πνεύματι κινούμενος Ὁσία, ἐν ἀνδρῴα στολῇ σε πρὸς ἀκροτάτην ζωήν, ἰθύνει χωρίσας ἁπάσης σε σχέσεως ἀνθρώπων, καὶ συνουσίας Μῆτερ.

Ὑπὸ τῆς ἄνωθεν ῥοπῆς, σθενουμένη κραταιῶς περιεγένου, φυσικῆς ἀσθενείας, καὶ ὑπὲρ φύσιν σκληροὺς ἀγῶνας Ὁσία ἐτέλεσας, δι᾽ ὧν καταπλήττεις, ἡμῶν τὰς διανοίας.

Μένεις ἐν ἔτεσι πολλοῖς, ὑπὸ πάντων ἀληθῶς ἀγνοουμένη, ἐν σπηλαίῳ Ὁσία μόνῳ συνοῦσα Θεῷ. Ὢ θαῦμα! πῶς ἤνεγκας πάνσεμνε, τὴν τελειωτάτην ἀποφυγὴν ἁπάντων.

Θεοτοκίον

Ὄρος Θεοῦ τὸ ἐμφανές, καὶ περίοπτον καὶ σύσκιον τῇ δόξῃ, Θεοτόκε Παρθένε, πλανώμενόν με δεινῶς, ἐν ὄρει πολλῶν παραβάσεων, ἕλκυσόν με Κόρη πρὸς τρίβον σωτηρίας.



Ὠδὴ θ΄. Ἀνάρχου Γεννήτορος

Νομίμως τελέσασα, τὸν δρόμον τῆς ἀσκήσεως, καὶ καλῶν ταῖς ἰδέαις σαυτὴν κοσμήσασα, ἤρθης ἐν χαρᾷ θεοφόρε, πρὸς τοὺς νυμφῶνας τῆς ἀφθαρσίας, τῶν πόνων τὰ ἔπαθλα, κομιζομένη πάνσεμνε.

Ἀγγέλους ἑώρακας, ἀπ᾽ οὐρανοῦ ἐλθόντας σοι, τὴν ἁγίαν ψυχήν σου λαβοῦσα καὶ ἄμωμον καὶ λαμπρῶς τὸ πρόσωπον λάμψαν, Ἀναστασία τὸ σὸν ἀῤῥήτως, δόξαν οὐράνιον, γηθοσύνως ἀνελήλυθας.

Χριστοῦ τὴν τερπνότητα, καὶ κάλλος τὸ ἀμήχανον, καὶ τὴν ἄφραστον δόξαν καὶ τὴν λαμπρότητα, ἤδη καθορῶσα Ὁσία, καὶ μετοχῇ θείᾳ θεουμένη, ἀπαύστως ἱκέτευε, ὑπὲρ πάντων τῶν τιμώντων σε.

Ὁ ἅγιος οἶκός σου, ὃν πόθῳ σοι ἀνήγειραν, οἱ τιμῶντες Ὁσία τὴν μνήμην σου, πάντας ἁγιάζει, τοὺς πίστει μετ᾽ εὐλαβείας αὐτῷ φοιτῶντας, ἀλλὰ ταῖς πρεσβείαις σου, δίδου πᾶσι τὰ αἰτήματα.

Θεοτοκίον

Ὑμνοῦμεν τὸ μέγιστον καὶ ἄφραστον μυστήριον, τοῦ ἀχράντου σου τόκου Θεοχαρίτωτε. Σὺ γὰρ τὸν Θεὸν καὶ Σωτῆρα, μετὰ σαρκὸς τέξασα τῷ κόσμῳ ἠλευθέρωσας τῆς ἀρχαίας παραβάσεως.

*Ἐξαποστειλάριον.* Γυναῖκες ἀκουτίσθητε

Ἀγῶνας ὑπὲρ ἄνθρωπον, ἐν γυναικείῳ σώματι, Ἀναστασία θεόφρων, θείῳ πόθῳ, ἔτη ὀκτὼ καὶ εἴκοσιν, ἀπρόϊτος διέμεινας, ἐν τῷ σπηλαίῳ πάνσεμνε, πυκτεύουσα πρὸς τὰς τάξεις, τῶν ἀκαθάρτων πνευμάτων.

Θεοτοκίον

Θεὸν τὸν ὑπερούσιον, οὐσιωθέντα Πάναγνε, τοῦ πρωτοπλάστου τὴν φύσιν δι᾽ οἰκτιρμοὺς ἀμετρήτους, ὑπερφυῶς γεγέννηκας, καὶ μετὰ τόκον ἄφθορον, μεμένηκας Πανάχραντε. Διὸ σὲ ὑμνολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι.

Εἰς τοὺς Αἴνους

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς *Προσόμοια:*

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι

www.tezaurliturgic.ro

Τὴν τοῦ κόσμου τερπνότητα, καὶ αὐλὴν τὴν βασίλειον, καὶ τιμὴν τὴν πρόσκαιρον καταλέλοιπας, ὥσπερ φθαρτὰ καὶ λυόμενα, τρωθεῖσα τῷ ἔρωτι τῆς ἀγάπης τοῦ Χριστοῦ, καὶ αὐτῷ ἠκολούθησας, ὡς ἀσώματος, ἐν Αἰγύπτῳ ἀσκήσασα ὁσίως. Διὰ τοῦτο σὲ τιμῶμεν, Ἀναστασία πανένδοξε.

Καὶ τὴν κλῆσιν ἀμείψασα, καὶ τὸ σχῆμα ἀλλάξασα, καὶ ἀνδρεῖον φρόνημα Μῆτερ φέρουσα, ἀσκητικῶς ἠνδραγάθησας, ἀνδρείοις παλέσμασι καὶ δοχεῖον ἀρετῶν ἀνεδείχθης πολύτιμον, διὰ τοῦτο σε, ὁ Χριστὸς πρὸς μονὰς Ἀναστασία, οὐρανίους κατοικίζει, θεουργικῶς μεγαλύνας σε.

Ὥσπερ θάλαμον ᾤκησας, θεοφόρε τὸ σπήλαιον, καὶ πρὸς ὕψος ἔφθασας τελειότητος. Ὦ! τῆς πολλῆς καρτερίας σου! πῶς ἤνεγκας ἔνδοξε, τὴν μονίαν τὴν σκληράν; πῶς εἰς τέλος κατῄσχυνας, τὸν πολέμιον, γυναικείᾳ ἐν φύσει, Μακαρία; διὰ τοῦτο ὁ Χριστός σε, Ἀναστασία ἐδόξασε.

Λαμπρυνθεῖσα τῷ Πνεύματι, τῷ Ἁγίῳ πανεύφημε, τὴν σὴν ἐκ τοῦ σώματος ἀνεγνώρισας, ἐπὶ τὰ ἄνω μετάστασιν, καὶ φῶς θεῖον βλέψασα, μετετέθης ἐν ταὐτῷ πρὸς τὰ ἄνω βασίλεια, ἱκετεύουσα, ὑπὲρ πάντων ἡμῶν Ἀναστασία, τῶν τιμίως ἐκτελούντων τὴν ἀεισέβαστον μνήμην σου.

Δόξα. Ἦχος πλ. α΄

Ὁσία Μῆτερ, τὴν ἀγαθὴν μερίδα, Εὐαγγελικῶς ἐκλεξαμένη τὸ συνεῖναι Χριστῷ προέκρινας, ἢ πρόσκαιρον ἔχειν ἀπόλαυσιν· ὅθεν τῶν ἐν κόσμῳ μακρυνθεῖσα, ἀσκητικὸν ἀγῶνα ἠγώνισαι, καὶ περιφανὲς ἀνέστησας τρόπαιον, ἐν τῇ ἄνωθεν ῥοπῇ, κατὰ τοῦ ἀρχαίου πτερνιστοῦ. Καὶ νῦν τῆς ἐφέσεως τυχοῦσα, Ἀναστασία μεγαλώνυμε, ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος. Τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἄρραγῆ προστασίαν, καὶ καταφυγὴ τῶν ψυχῶν ἡμῶν.

ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ ΚΑΙ ΑΠΟΛΥΣΙΣ



❖ ❖ ❖

Εἰς τὴν Θείαν Λειτουργίαν.
Κατὰ τὴν Τυπικὴν διάταξιν.

Ἀπόστολον ζήτει τῇ κε΄ Νοεμβρίου.
Εὐαγγέλιον τῆς Γ΄ Κυριακῆς τῶν Νηστειῶν.
*Κοινωνικόν*: Εἰς μνημόσυνον Αἰώνιον...

Μεγαλυνάριον

Ἔρωτι τρωθεῖσα τῷ θεϊκῷ, ἰσάγγελον τὸν βίον,
ἐβιώσω μετὰ σαρκός.
Ὅθεν οὐρανίων, τυχοῦσα δωρημάτων,
Ἀναστασία Μῆτερ, σκέπε τοὺς δούλους σου.

Ἕτερον

Τοῖς ἐν εὐλαβείᾳ τῷ σῷ ναῷ, Μῆτερ προσιοῦσι,
καὶ αἰτοῦσι σὴν ἀρωγήν,
τῆς σῆς προστασίας, τὴν χάριν ἀεὶ δίδου,
σεμνὴ Ἀναστασία, καὶ βίον ἄλυπον.

❖ ❖ ❖

Δίστιχον

Ἀνάστησόν με ἐκ τῶν παθῶν Ὁσία
Γεράσιμον μέλποντα τὰς ἀρετάς σου.

www.tezaurliturgic.ro

# Κανὼν παρακλητικὸς εἰς τὴν Ὁσίαν Μητέρα ἡμῶν Ἀναστασίαν τὴν Πατρικίαν

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ *Κύριε εἰσάκουσον*, μεθ' ὃ τὸ *Θεὸς Κύριος* ὡς συνήθως, καὶ τὸ ἑξῆς τροπάριον:

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ

Τοὺς προσιόντας τῷ ἁγίῳ ναῷ σου, καὶ τὴν θερμήν σου ἐκζητοῦντας πρεσβείαν, Ἀναστασία Μῆτερ παμμακάριστε, πάσης ἀπολύτρωσαι, ἐπηρείας καὶ βλάβης, πειρασμῶν καὶ θλίψεων, διαλύουσα νέφος, καὶ τῶν πταισμάτων αἴτησαι ἡμῖν, παρὰ Κυρίου, Ὁσία τὴν ἄφεσιν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν' καὶ ὁ κανὼν οὗ ἡ ἀκροστιχίς:
«Σκέπε Ὁσία τοὺς σὲ τιμῶντας Γερασίμου»

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας



Συνοῦσα Ἀγγέλων θείοις χοροῖς, σὺν αὐτοῖς δυσώπει λυτρωθῆναι πάσης ὀργῆς, τοὺς πίστει καὶ πόθῳ προσιόντας, Ἀναστασία τῇ θείᾳ σου χάριτι.

Κινδύνων ἀπάλλαξον χαλεπῶν, καὶ τῶν τοῦ Βελίαρ, πολυστρόφων ἐπιφορῶν, τῇ σῇ πρὸς Χριστὸν ἱκετηρίᾳ, Ἀναστασία τοὺς σὲ μακαρίζοντας.

Ἐν πίστει προσήλθομεν τῷ σεπτῷ ναῷ σου Ὁσία, καὶ αἰτοῦμεν πανευλαβῶς, τῆς σῆς προστασίας τὰς ἐκφάνσεις, ἃς συμπαθῶς ἡμῖν δίδου ἑκάστοτε.

Θεοτοκίον

Πηγὴ εὐσπλαχνίας τῆς Θεϊκῆς, Κεχαριτωμένη, Παντευλόγητε Μαριάμ, ἐπόμβρησον πᾶσιν οὐρανόθεν τοῦ σοῦ ἐλέους τὰ ῥεῖθρα τὰ ἄφθονα.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος

Ἐπακούσασα Μῆτερ, ὡς συμπαθὴς πρόσδεξαι, τὰς φωνὰς ἡμῶν τῶν ἐν πίστει, παρακαλούντων σε, καὶ δίδου ἅπασι, χαρὰν ὑγείαν καὶ ῥῶσιν, καὶ παθῶν τὴν ἴασιν, καὶ βίον τὸν ἄλυπον.

Ὁ σὸς ἅγιος οἶκος, οἷα λιμὴν ἄκλυστος, πᾶσι καθορᾶται Ὁσία, τῇ ἐπισκέψει σου, ἐν ᾧ προστρέχοντες, Ἀναστασία γαλήνης, θεϊκῆς πληρούμεθα, ἀνευφημοῦντές σε.

Συνοχῆς τῶν ἐν βίῳ, ὀδυνηρῶν λύτρωσαι, καὶ τῶν ψυχικῶν συντριμμάτων, καὶ πάσης θλίψεως, Ἀναστασία σεμνή, τοὺς ὁλοτρόπως ζητοῦντας, τῆς σῆς ἀντιλήψεως, τὴν ἐπισκίασιν.

Θεοτοκίον

Ἱλασμὸν τῶν πταισμάτων, καὶ τῶν δεινῶν λύτρωσιν, Κεχαριτωμένη Παρθένε, Μῆτερ ἀνύμφευτε, αἴτει τοῖς δούλοις σου, τοῖς ἀκλινεῖ διανοίᾳ, Κόρη ἀτενίζουσι, τῇ σῇ χρηστότητι.

Διάσωσον Ἀναστασία Ὁσία πάσης ἀνάγκης, τοὺς ἐν πίστει τῷ σῷ ναῷ καταφεύγοντας, ὡς παῤῥησίαν πλουτοῦσα πρὸς τὸν Δεσπότην.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ *Κάθισμα*

www.tezaurliturgic.ro

Ἦχος β΄. Πρεσβεία θερμή

Πρεσβεία τῇ σῇ, Ἀναστασία σπεύδοντες, πολλῶν πειρασμῶν ταχέως ἐκλυτρούμεθα· διὸ θερμῶς βοῶμέν σοι· ψυχικῶν νοσημάτων καὶ θλίψεων, καὶ τῶν ἐν βίῳ σεμνὴ ἀναγκῶν, ἡμᾶς ἀνωτέρους διαφύλαττε.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε

Ἀναβλύζει ἑκάστοτε, ἡ σεπτὴ εἰκών σου χάριν καὶ ἔλεος ἧ προσπίπτοντες πληρούμεθα, ὦ Ἀναστασία Θείας χάριτος.

Τῶν παθῶν τὰ οἰδήματα, ἴασαι Ὁσία τῶν προσιόντων σοι, καὶ ποικίλων περιστάσεων, λύτρωσαι ἡμᾶς τοὺς σὲ γεραίροντας.

Ὁ ἰσάγγελος βίος σου, τῶν δαιμόνων ἔλυσε δεινὰ φάσματα ὧν τῆς βλάβης ἀπολύτρωσαι, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Ὑπερύμνητε Δέσποινα, ἡ τὸν Θεὸν Λόγον σαρκὶ κυήσασα, ἀλογίας τὴν καρδίαν, τῆς ἐκ τῶν δεινῶν παθῶν ἐκκάθαρον.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς

Σκέπη ἀσφαλής, καὶ μεσίτις πρὸς τὸν Κύριον, καὶ βοήθειαν ἡμῖν ἔσο ἀεί, τοῖς προστρέχουσιν Ὁσία τῇ σῇ χάριτι.

Σύντριψον σεμνή, τοῦ δολίου πολεμήτορος, τὰ ὑπούλως τεκταινόμενα ἀεί, καθ' ἡμῶν τῶν προστασίαν κεκτημένων σε.

Ἔχοντες σεμνή, τὸν ναόν σου τὸν πανάγιον, καταφεύγομεν ἐν τούτῳ εὐλαβῶς, καὶ λαμβάνομεν ἀπαύστως τὰ αἰτήματα.

Θεοτοκίον

Τόμον σε καινόν, Ἠσαΐας προεώρακεν, ἐν ᾧ γέγραπται ὁ Λόγος τοῦ Θεοῦ, Θεοτόκε διὰ τοῦτό σε δοξάζομεν.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχέω

Ἰάματα, ἀναβλύζει Ὁσία, ἐπομβρίᾳ Παρακλήτου τῇ θείᾳ, ὁ σὸς ναὸς καὶ ξηραίνει ποικίλων, Ἀναστασία, παθῶν τὴν ἐπίκλησιν διὸ κηρύττομεν τὴν σήν, πρὸς ἡμᾶς ταχυτάτην ἀντίληψιν.



Μεγίστους, ἐν τῇ ἀσκήσει ἀγῶνας, διανύσασα στεῤῥῶς μακαρία, μεγίστης δόξης μετέσχες θεόθεν διὸ μεγάλων ἀπάλλαξον θλίψεων, Ἀναστασία τοὺς θερμῶς, προσιόντας τῇ θείᾳ πρεσβείᾳ σου.

Ὡς αἴγλης, τῆς ἀνεσπέρου Ὁσία, κοινωνοῦσα σὺν Ἁγίων τοῖς δήμοις, ἐν σκοτομήνης δεινῶν νοσημάτων, καὶ ζοφερῶν παθημάτων καὶ θλίψεων, Ἀναστασία θαυμαστή, τοὺς τιμῶντάς σε ῥύου ἑκάστοτε.

Θεοτοκίον

Νόος μου, τὸν σκοτασμὸν Θεοτόκε, καὶ ψυχῆς μου τὴν βαθεῖαν ὁμίχλην, φωτιστικῇ σου διάλυσον αἴγλῃ, καὶ τῷ φωτὶ προσταγμάτων τοῦ Κτίσαντος, ὁδήγησόν μου τὴν ζωήν, ἵνα δόξης μετάσχω τῆς κρείττονος.

Διάσωσον Ἀναστασία Ὁσία πάσης ἀνάγκης, τοὺς ἐν πίστει τῷ σῷ ναῷ καταφεύγοντας, ὡς παῤῥησίαν πλουτοῦσα πρὸς τὸν Σωτῆρα.

Ἄχραντε, ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα Μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ *Κοντάκιον*
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου

Τῇ πρὸς Θεόν σου πρεσβείᾳ θεόληπτε, τὴν τῶν πταισμάτων ἡμῖν δίδου ἄφεσιν, καὶ πάσης ἀνάγκης ἐκλύτρωσιν, καὶ εἰρηναίαν ἐν βίῳ κατάστασιν, Ἀναστασία ἡμῶν ἡ βοήθεια.

Προκείμενον
Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ

www.tezaurliturgic.ro

καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Δόξα. Ταῖς τῆς σῆς Ὁσίας...
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

*Προσόμοιον.* Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι

*Στίχ.* Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου

Βίον τὸν ἰσάγγελον, πολιτευθεῖσα Ὁσία, ἰσαγγέλου ἔτυχες, δόξης καὶ λαμπρότητος Θείῳ Πνεύματι· ἀλλ' ἀεὶ πρέσβευε, Χριστῷ τῷ νυμφίῳ, τῷ λαμπρῶς σε μεγαλύναντι, δοῦναι συγχώρησιν, τῶν ἁμαρτιῶν τοῖς ἱκέταις σου, καὶ συμφορῶν λυτρώσασθαι, καὶ πολυειδῶν περιστάσεων, τοὺς τῇ σῇ εἰκόνι, προσπίπτοντας Ὁσία εὐλαβῶς, Ἀναστασία καὶ μέλποντας, τὰ σὰ κατορθώματα.

Σῶσον ὁ Θεὸς τὸν λαόν Σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας

Τῶν παθῶν τὰς ὀδύνας, καὶ ἐχθρῶν τὰς ἐφόδους σεμνὴ διάλυσον, τῇ σῇ ἐπιστασίᾳ, Ἀναστασία Μῆτερ, ἐξ ἡμῶν τῶν βοώντων σοι· σὺ εἶ προστάτις ἡμῶν, καὶ σὲ ὑμνολογοῦμεν.

Ἀλγηδόνων ποικίλων, καὶ σκανδάλων ἐν βίῳ ἡμᾶς ἀπάλλαξον, καὶ δίδου οὐρανόθεν, τὴν μητρικήν σου Μῆτερ εὐλογίαν τοῖς τέκνοις σου ἵνα βιῶμεν σεμνή, ἐν εὐπραγίαις θείαις.

Συντονίᾳ ἀτρέπτῳ, καὶ ἀσκήσει τὸν βίον σεμνὴ διήνυσας· διὸ ἐξ ἀκηδίας, ἡμᾶς καὶ ῥαθυμίας, ψυχοφθόρου ἐκλύτρωσαι, πρὸς ἀρετῶν τὴν ὁδόν, ἡμᾶς καθοδηγοῦσα.

Θεοτοκίον

Γέρας εἴληφε Θεῖον, τῇ κυήσει σου κόρη φύσις ἡ ἔκπτωτος· διὸ καταπτωθέντα, βυθῷ ἁμαρτιῶν με, τῇ πρεσβείᾳ σου ἔγειρον, καὶ ἴθυνόν με Ἁγνή, πρὸς τρίβον μετανοίας.

Ὠδὴ η΄. Τὸν Βασιλέα



Ἐν τῷ ναῷ σου, προσφεύγομεν Ὁσία, τῇ πρεσβείᾳ σου λαμβάνομεν ταχέως, τὰς σωτηριώδεις, Ἀναστασία δόσεις.

Ῥῶσιν παράσχου, κατὰ ψυχήν τε καὶ σῶμα, τοῖς προσπίπτουσι σεμνὴ Ἀναστασία, τῇ πρὸς τὸν Σωτῆρα, θερμῇ σου ἱκεσίᾳ.

Ἀναστασίας, τὴν παναγίαν εἰκόνα, προσκυνήσωμεν οἱ πάσχοντες ποικίλως, βρύει γὰρ ἰάσεις, καὶ παύει τὰς ὀδύνας.

Θεοτοκίον

Σὲ προστασίαν, καὶ ἀσφαλῆ ὁδηγίαν, Κόρη ἔχοντες λυτρούμεθα ὀξέως, τῶν ἐπερχομένων, ἡμῖν πικρῶν κινδύνων.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον

Ἰσχὺν ἡμῖν παράσχου, κατὰ τοῦ Βελίαρ, Ἀναστασία Ὁσία Θεόληπτε, καὶ προστατεύειν μὴ παύσῃ τῶν εὐφημούντων σε.

Μεγίστη σου ἡ χάρις· πᾶσι γὰρ παρέχεις, Ἀναστασία τὰ θεῖα δωρήματα· διὸ κηρύττομεν πάντες τὴν προστασίαν σου.

Ὁλόφωτον Ὁσία, ἔχουσα παστάδα, ἐκ ζοφερῶν πειρασμῶν ἀπολύτρωσαι, Ἀναστασία τοὺς σπεύδοντας τῇ σῇ χάριτι.

Θεοτοκίον

Ὑπὲρ τῶν σὲ ὑμνούντων, Κεχαριτωμένη, τὸν σὸν Υἱὸν καὶ Θεὸν καθικέτευε, ἵνα ζωῆς αἰωνίου ἀξιωθείημεν.

Τὸ *Ἄξιον ἐστὶ καὶ τὰ Μεγαλυνάρια*

Χαίροις τῆς ἀγάπης τῆς Θεϊκῆς, φαεινὴ λυχνία, διαχέουσα δαψιλῶς, ὦ Ἀναστασία, Ὁσία Μακαρία τῶν ἀρετῶν ἀκτίνας, τοῖς σὲ γεραίρουσι.

Πάντα ἀπηρνήσω γνώμῃ στεῤῥᾷ, αὐλὰς βασιλείους, καὶ ἀξίωμα εὐκλεές, καὶ τὴν τοῦ Σωτῆρος, ἠγάπησας πτωχείαν σοφὴ Ἀναστασία, ὁσίως ζήσασα.

Ἤμειψας τὸ ὄνομα νουνεχῶς, καὶ σχῆμα Ὁσία καὶ τὸ φρόνημα ἀνδρικῶς, καὶ ἐν τῷ σπηλαίῳ ὑπερφυεῖς ἀγῶνας, Ἀναστασία Μῆτερ, στεῤῥῶς ἐτέλεσας.

Χαίρει ἡ χορεία τῶν εὐσεβῶν, τὸν σεπτὸν ναόν σου, ὡς ἁγίασμα νοητόν, ἔχου-

www.tezaurliturgic.ro

σα Ὁσία, ἐξ οὗ Ἀναστασία, λαμβάνομεν ἀπαύστως, ἃ ἐξαιτούμεθα.

Χαίροις ἐνδιαίτημα ἀρετῶν, Μοναζουσῶν δόξα, καὶ Ὁσίων ἡ καλλονή· χαίροις εὐσεβούντων, Ἀναστασία Μῆτερ, προστάτις καὶ μεσίτις θερμὴ πρὸς Κύριον.

Πάσης ἡμᾶς λύτρωσαι ἀπειλῆς, φθορᾶς καὶ ἀνάγκης κατὰ σῶμά τε καὶ ψυχήν, τοὺς τῇ σῇ πρεσβείᾳ προστρέχοντας Ὁσία, Ἀναστασία Μῆτερ, καὶ εὐφημοῦντάς σε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια,
ἐκτενὴς καὶ Ἀπόλυσις,
μεθ᾽ ἣν ψάλλομεν τὰ ἑξῆς:

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου

Δόξης κοινωνοῦσα Θεϊκῆς, δέχου τὰς ἡμᾶς ἱκεσίας, Ἀναστασία σεμνή, καὶ ταύτας προσάγαγε, τῷ Ζωοδότῃ Χριστῷ ὡς ἂν εὕρωμεν ἔλεος, καὶ πάσης ῥυσθῶμεν βλάβης καὶ κακώσεως, τοῦ πολεμήτορος, πάσης συμφορᾶς καὶ ἀνάγκης, καὶ πολυειδῶν συμπτωμάτων, οἱ τῇ ἀρωγῇ σου καταφεύγοντες.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

# ΜΟΥΣΙΚΟΝ ΠΑΡΑΡΤΗΜΑ

## ΕΣΠΕΡΙΝΟΣ

# ΟΣΙΑΣ ΑΝΑΣΤΑΣΙΑΣ ΤΗΣ ΠΑΤΡΙΚΙΑΣ

Ἦχος Β΄ Δι Χ






## ΠΡΟΣΟΜΟΙΑ «Ὅτε ἐκ τοῦ ξύλου».












Ἦχος Δ΄ Βου. «Ἐδωκας σημείωσιν»






www.tezaurliturgic.ro




## Ἦχος πλάγιος Β′






www.tezaurliturgic.ro

ξι ο ο ο ο θε ε ε ε ος ω μη παυ ση πρε ε ε
σβευου ου σα α α α Ο ο σι ι ι α ρυ ε σθαι
η μας πα α σης θλι ι ι ι ψε ε ε ως

## Εἴσοδος - Φῶς ἱλαρόν - τό Προκείμενον - καί τά Ἀναγνώσματα

### Προκείμενον Ἦχος Β΄

Η βο η θει α α μου πα ρα Κυ ρι ι ου του ποι
η σαν τος τον ου ρα νο ον και την γη ην Δις
Η βο η θει α μου πα ρα Κυ ρι ι ου του ποι η
σαν τος τον ου ρα νον και την γη η ην



## ΑΠΟΣΤΙΧΑ

### Ἦχος πλάγιος Α΄ «Χαίροις ἀσκητικῶν»

Χαι ροις Α να στα σι ι α σε μνη της Α να στα σε ως Χρι
στου ου η ε πω νυ μος ης πι στει ει σδε δε γμε ε νη
την μυ στι κην α στρα πην εν δον εν καρ δι ι α α θει
ω Πνευ μα τι το σκο ο τος κα τε λι πες κο σμι κη
ης μα ται ο τη τος και των Α αγ γε ε λων την ζω η
ην ε πε πο θη σας ως α σω μα τος με τα σω ω
μα τος ζη σα σα ο ο θεν νυν την ι σαγ γε λον ε
κτη η σω φαι δρο τη τα και ου ρα νι ων θα λα α
μω ων πε ρι φα νω ως κα τι ξι ω σαι α ει
δυ σω που ου σα ταις ψυ χαις η μων δο θη η ναι το με γα ε
λε ος

www.tezaurliturgic.ro






www.tezaurliturgic.ro

«ΜΑΡΙΑ» Στάσις Γ′ Πέτρου Μπερεκέτη- Ἦχος Γ′ Γα




